## Archil. fr. 122 W.[2]

(⊗) “χρημάτων ἄελπτον οὐδέν ἐστιν οὐδ᾽ ἀπώμοτον
οὐδὲ θαυμάσιον, ἐπειδὴ Ζεὺς πατὴρ Ὀλυμπίων
ἐκ μεσαμβρίης ἔθηκε νύκτ᾽, ἀποκρύψας φάος
ἡλίου λάμποντος, ὑγρὸν δ᾽ ἦλθ᾽ ἐπ᾽ ἀνθρώπους δέος.
ἐκ δὲ τοῦ καὶ πιστὰ πάντα κἀπίελπ⸥τα ⸤γίνεται
ἀνδράσιν· μηδεὶς ἔθ᾽ ὑμέ͜ων εἰσορ⸥έ͜ων θαυμαζέτω
μηδ᾽ ἐὰν δελφῖσι θῆρες ἀνταμ⸥είψωντα⸤ι⸥ νομὸν
ἐνάλιον, καί σφιν θαλάσσης ἠχέεντ⸥α κύματα
φίλτερ᾽ ἠπείρου γένηται, τοῖσι δ᾽ ὑλ⸥ήειν ὄρος.
Ἀρ]χηνακτίδης
]ή • του πάϊς[
]τύθη γάμω.[
]..ạịνε..[
]ṿέειν·
]
ἀν]δράσιν·
].[].[]

**Metro**: tetrametri trocaici catalettici (4tr$_\wedge$: –⏑–x͡–⏑–×⁝–⏑–x͡–⏑⏓‖); i vv. 10-17 sono molto mutili e se ne scorge solo la parte finale; sinizesi: v. 6 ὑμέ͜ων, εἰσορέ͜ων; tribraco per trocheo: vv. 2 θαυμάσῐŏν ἔ̆πειδή, 8 ἔ̆νᾰ́λῐον; *varia*: v. 11 πᾰ́ῑς.

**(1–9)** Stob. IV 46,10 (I); **(1)** Arist. *Rh.* III 17, 1418b 28 et *schol. ad l.* (*CAG* XXI/2 255,31; cf. 324,16) (II); **(5–17)** *P. Oxy.* 2313 fr. 1(a) (III). Cf. Hdt. V 92α,1, Plut. *Fac. lun.* 19, 931e ‖ **1** χρημάτων ἄελπτον I, II(**A**) : χ- δ’ ἄ- II(**F**) : χ- ἃ ἔλιπον II(**Afrc**) | οὐδέν I : -θέν II ‖ **3** μεσαμβρίης Hoffmann : -ημβρίας I : -ημβρίης Schneidewin ‖ **4** λ- ὑγρὸν Valckenaer : λ- λυγρὸν I : crucc. concl. West ‖ **5** τοῦ καὶ πιστά Liebel : τ- οὐκ ἄπιστα I | γίνεται Fick : γίγν- I ‖ **6** ὑμέων Renner : ὑμῶν I | ]εων (ε sscr.) III : εἰσορῶν I ‖ **7** ἐὰν Valckenaer : ἵνα I ‖ **8** σφιν Gaisford : σφι I ‖ **9** ὑλήειν Bergk, cl. Choerob. *ad* Theodos. *GG* IV/2 214,18 : ].ειν III (primo loco η possis) : ἡδὺ ἦν (sic) I : ὑλέειν Lobel ‖ **10** dub. suppl. Lobel ‖ **12** ἠρ]τύθη Latte : ἐρη]τύθη Peek | γάμῳ vel γάμων III ‖ **13** init. hastarum culmina, dein ạịνε potius quam ṿνε, fin. αι vel ω inter alia ‖ **14** ]νέειν· III : ]νεῖν· West ‖ **16** suppl. Lobel ‖ **17** primo loco vestigium minimum (hastae culmen?), secundo φ vel ψ

## Archil. fr. 128 W.[2]

θυμέ, θύμ᾽, ἀμηχάνοισι κήδεσιν κυκώμενε,
ἄνα δὲ δυσμενέ͜ων δ᾽ ἀλέξε͜ο προσβαλὼν ἐναντίον
στέρνον ἐνδόκοισιν ἐχθρῶν πλησίον κατασταθεὶς
ἀσφαλέ͜ως· καὶ μήτε νικέ͜ων ἀμφάδην ἀγάλλεο,
μηδὲ νικηθεὶς ἐν οἴκῳ καταπεσὼν ὀδύρεο,
ἀλλὰ χαρτοῖσίν τε χαῖρε καὶ κακοῖσιν ἀσχάλα
μὴ λίην, γίνωσκε δ᾽ οἷος ῥυσμὸς ἀνθρώπους ἔχει.

**Metro**: tetrametri trocaici catalettici (4tr$_\wedge$: –⏑–x͡–⏑–×⁝–⏑–x͡–⏑⏓‖); sinizesi: vv. 2 δυσμενέ͜ων ἀλέξε͜ο, 4 ἀσφαλέ͜ως, νικέ͜ων; tribraco per trocheo: vv. 2 ἄ̆νᾰ δὲ̆, 5 κᾰ̆τᾰ̆πε̆σών; *varia*: v. 7 λῑ́ην.

Stob. III 20,28 (I); **(1)** Dion. Hal. *Comp. verb.* 17,106 (II); **(6s. χαρτοῖσιν–)** Arsen. 18,8a (III). Cf. Lucil. 698s. Marx; **(3)** Hesych. ε 2809 L. ‖ **2** ἄνα δὲ Liebel : ἀναδευ I(**SM**) : ἀνὰ δ’ εὖ I(**A**) : ἄνα σὺ Pfeiffer : crucc. concl. West | δυσμενέων Lasserre : -ῶν I ‖ **3** ἐνδόκοισιν I(**M**[d]) : ἐν δοκοῖσιν I(**SA**) : ἐν δοκῇσιν dub. Bergk (cll. Hesych. δ 2108 et ε 2807 L.) : ἐν λόχοισιν Klinger : crucc. concl. West ‖ **4** νικέων Lasserre : -ῶν I | ἀμφάδην I(**S**[ac]) : ἐμφ- I(**S**[pc]**MA**) ‖ **6** ἀσχάλα Grotius : ἄσχαλε I(**M**) : ἄσχαλλε I(**SA**), III ‖ **7** γίνωσκε III : γίγν- I | ῥυσμὸς I(**S**[pc]), III : ῥυθ- I(**S**[ac]**MA**)

## Archil. fr. 174 W.[2]

αἶνός τις ἀνθρώπων ὅδε,
ὡς ἆρ᾽ ἀλώπηξ καἰετὸς ξυνεωνίην
ἔμειξαν

**Metro**: sequenza epodica, composta da un trimetro (3ia: ×–⏑–×⁝–⏑⁝–×–⏑⏑‖: v. 2) e da un dimetro giambico (2ia: ×–⏑–×–⏑⏑‖: v. 1); del v. 3 si legge solo l'*incipit*; sinizesi: v. 2 ξυνεωνίην.

Ps.-Ammon. *Adf. voc.* 18 (p. 5 Nickau) ~ Erenn. Phil. 32 ~ *Et. Gud.* 48,15-18 De Stefani ~ Choerob. *Epim. Ps.* 114,25-31 Gaisford ~ Eust. *ad Il.* XI 430, 855,4s. (III 229,6s. v.d.V.) ~ Apostol. *praef.* 5 (*CPG* II 236,2-5) unde *schol. alph. An. Par.* III 371,13 Cramer (I), Diogenian. *praef.* (*CPG* I 178,9-12) (II), *schol. Od.* XIV 508 ~ Eust. *ad Od.* XIV 508, 1768,62-64 (III); **(2)** Ap. Dysc. *GG* II/1/1 224,2s. (V) ‖ **2** καἰετὸς I(Erenn.(**P**)), Schneidewin : κάετὸς vel καὶ αἰετὸς vel ἢ αἰετὸς vel simm. testt. pll. | ξυνεωνίην Fick : ξυνωνίην vel -ίαν testt. ‖ **3** ἔμειξαν Fick : ἔμιξαν II, III : ἔθεντο I

## Archil. fr. sp. 324 W.[2]

⊗ τήνελλα καλλίνικε
χαῖρε ἄναξ Ἡράκλεις,
αὐτός τε καἰόλαος, αἰχμητὰ δύω.

**Metro**: Così come è stampato da West, il testo restituisce una sequenza 'popolare' di un dimetro giambico catalettico (2ia$_{\wedge}$: ×–⏑⁝–⏑–⏑‖), un 'quasi-itifallico' ('ith': ××⏑–×––) o dimetro giambico catalettico con un coriambo (χαῖρε ἄνᾱξ) in luogo del primo *metron* giambico, e un trimetro giambico (3ia: ×–⏑–×–⏑–×–⏑⏑‖): cf. M.L. West, *Greek Metre*, Oxford 1982, 148. Nell'ipotesi di ricostruzione avanzata in apparato, invece, si avrebbe un ritornello caratterizzato da un dimetro giambico catalettico (2ia$_{\wedge}$: ×–⏑⁝–⏑–⏑‖) a intervallare trimetri giambici puri (3ia: ×–⏑–×⁝–⏑⁝–×–⏑⏑‖); iato: v. 2 χαῖρε (ϝ)ἄναξ.

(Eratosth. ap.) *scholl.* Pind. *O.* 9,1 (I), *schol.* Ar. *Av.* 1764 (II), Io. Tz. *Chil.* I 689-691 (III), *Suda* τ 518 A. init. (≅ *schol.* [*Vict.*] Ar. *Ach.* 1230, p. 31 Dübner) (IV); **(1)** (Aristarch. ap.) *schol.* Pind. *O.* 9,3 (V). Cf. *IG* XIV 652, Pind. *O.* 9,1-4, Call. fr. 384,39 Pf., *schol.* Pind. *N.* 3,1, *schol.* Ar. *Ach.* 1231, *Eq.* 276, Hesych. τ 794s. H., Σ$^{(''')}$ τ 164 Cunn. = Phot. 586,2s. P. = *Et. Gen.* **AB** *s.v.* τήνελλα (p. 281 Miller) = *Et. M.* 757,32, *App. Prov.* 4,87 ‖ **1** τήνελλα καλλίνικε testt. pll. : τ- ὦ κ- I (ἡ δὲ ἀρχὴ τοῦ μέλους ἐστίν· "ὦ καλλίνικε χαῖρε ἄναξ Ἡράκλεες") et *schol.* [*Vict.*] Ar. *Ach.* 1230 ‖ **3** καἰόλαος *schol.* [*Vict.*] Ar. *Ach.* 1230 et «alii» ap. Schneidewin : καὶ Ἰόλαος testt. | αἰχμητὰ testt. pll. : -ατὰ I(**CDEQ**) | δύω II, III$^{pc}$, IV : δύο I et *schol.* [*Vict.*] Ar. *Ach.* 1230 | τὸ δὲ ὅλον οὕτως· "τήνελλα τήνελλα καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις / αὐτός τε καὶ Ἰόλαος, αἰχμητὰ δύο. / τήνελλα καλλίνικε χαῖρε ἄναξ Ἡράκλεις" adiecit I ‖ hymni ἀρχή iuxta Eratosthenem fort. sic restituenda (τήνελλα καλλίνικε extra versuum ordinem habenda sunt):

<ΕΞΑΡΧΟΣ> τήνελλα
<ΧΟΡΟΣ> καλλίνικε
⊗ ὦ καλλίνικε χαῖρ᾽ ἄναξ Ἡράκλεες
<ΕΞ.> τήνελλα
<ΧΟ.> καλλίνικε
αὐτός τε καἰόλαος, αἰχμητὰ δύω.
<ΕΞ.> τήνελλα
<ΧΟ.> καλλίνικε